Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-680741-p0001-9

Occasionalia
potissimum Carmina
vol. 27
P–V

VI-183

VI-183.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-680741-p0002-4

148
153

# HELICONEM VITEBERGENSEM,

Cum a
Decano maxime ſpectabili
VIRO
Nobiliſſimo, Ampliſſimo, Doctiſſimoque
DN. GODOFREDO SCHOENINGIO,
Ordini Sapientum Adſcripto meritiſſimo,
VIRO
Clariſſimo atque Doctiſſimo
DOMINO
ARPIO THILINGIO,
Hamburgenſi,
Honores in Philoſophia ſummi
AN. MDCCIIII. XV. Kal. Novembr.
conferrentur,
Spectandum dabat,
Deque partis doctrina & induſtria
ſingulari honoribus gratulabatur
M. JO. CHRISTOPH. WOLFIUS.

VITEMBERGAE,
TYPIS MARTINI SCHULTZII, ACAD. TYPOGR;

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-680741-p0003-0

Πολλοῖσιν μύθοις φιλομύθων ᾄσματ᾽ ἀοιδῶν
  Θέλγει ἀναγνωςῶν τοὺς φρένας ἠδὲ κέαρ.
Εν τούτοις δ᾽, οἶμαι, πάντων τέρπουσι μάλιςα,
  Οὓς περὶ τῶν τεχνῶν ἔπλασαν ἐγκυκλίων.
Ειν Ελικῶνι ὄρει Μουσῶν χορὸν ἐννεάριθμον
  Πλατ]έμεναι λιγυρῇ οἱ φιλέουσιν ὀπί.
Καί τε Θεὸν τούτῳ Λύκιον τάτ]ουσιν ἔπαρχον,
  Τοῦ σκῆπτρον κυνέει νεῦσιν ἀγαζόμενος.
Αυτὸν τοῖς Μουσῶν θεράπουσιν κῦδος ὀπάζειν
  Ἄξια, ἠδὲ πόνων ἆθλα λέγουσι φέρειν.
Ταῦτά δὲ ληρώδη μυθωδῶν ᾄσματ᾽ ἀοιδῶν
  Μηδέν᾽ ἀληθείας σπινθέρ᾽ ἔχειν δοκέει.
Αλλά τις ἐν τούτῳ γλαφυροῦ εἰλήματι μύθου
  Νητρεκίας πυρὴν κρυπτόμενος πέλεται.
Τὸν δ᾽ ἐκπυρηνιζέμεναι ἐμοὶ οὐ θέμις ἐςι,
  Φέρτερα πλατ]ομένοις ὅτ]ι πάρεςι λόγοις.
Η ΒΙΤΕΒΕΡΓΑ, τὸ λευκὸν ὄρος τῇ Σάξονος αἴᾳ
  Ουνόματ᾽ ἠδ᾽ ἔργῳ τὸν δ᾽ Ελικῶνα φέρει.
Τοῦτ᾽ ὄρος οὐ δίκρανον τελέθει γε δίκην Ελικῶνος,
  Μηδ᾽ ἱερὸν πέλεται ἀντιβίοισι Θεοῖς.
Εγκυκλίων τεχνῶν νηὸς μόνον ἐςήρικται
  Αὐτόθι, καὶ τέμενος ταῖς δε μένει ἴδιον.
Εκ τοῦ ὄρους ῥιζῶν πολὺ φέρτερον Ιπποκρήνης
  Νᾶμα ῥέει καθαροῦ τοῦ ποταμοῖο δίκην.
Ὃς μετὰ εὐπορίης ἀναβλύζει εὔπορον ὕδωρ,
  Ὕδωρ, μειλιχίου νέκταρος ἡδύτερον.
Τοῦτο νέων ςομάτεσσι καταςάζουσιν ἕτοιμοι,
  Οἷς Μουσῶν δώης οὔνομα ὀρθοτέρως.
Εννέα γὰρ πατέρες κλειτὸν τῶν ἐννέα Μουσῶν
  Ὄμμασιν ἡμετέροις εἰδοφοροῦσι χορόν·
Τοῖσιν ἐπιςατέει δέκατος διάσημος Απόλλων,
  Ρωμαϊκὴ Δέκανον τὸν μάλα γλῶτ]α λέγει.
Ουτι δ᾽ ἄπεισι πόνων μοχθηρῶν ἆθλ᾽ ἀπόλεκτα,
  Σύμβολα τῆς τιμῆς, καὶ ἐπίσημα κλέους.

Εὐπλόκαμος στέφανος, κεφαλὴν διαδοῦσά τε μίτρα,
Δάκτυλος αὐθέντους τέκμαρ ἐλευθερίας.
Ταῦτα πέλει μισθὸς πολλῶν ἀντάξιος ἄλλων,
Ὅς Μουσῶν ἕταρον καὶ θεράποντα μένει.
Κάλλιστον τούτου παράδειγμα, ΘΙΛΙΠΠΕ, πορίζεις,
Κῦδος Παρνάσσου, Πιερίδων τε κλέος.
Μουσάων ΣΥ κλυτῶν ἑδρήματα πολλ᾽ ἐπάτησας,
Χειλόνιον κομψὸν, Λειψιάδην τε πόλιν.
Πολλά τε Πιερίδεσσιν ἀγαυαῖς ἱερὰ ῥέξας,
Τῇ κεφαλῇ χλοερὸν στέμμα κλέος τε φέρεις.
Συγγραφέων λῷστων ἀνέλιξας βιβλία πολλὰ
Ὄμμασιν ἡμερίνοις, χειρί τε νυκτερίνῃ.
Νῦν ἐν ὄρει λευκῷ πολλῶν πολὺ φέρτερος ἄλλων
Ἔξοχος ἑδρεύεις, βῆμά τε πρῶτον ἔχεις.
Πάτριος αἶα γαθεῖ, Πατέρες χαίρουσιν ἀγαυοὶ,
Συγχαίρουσι φίλοι, σείεται ἠδ᾽ Ἑλικών.
Εὔχομ᾽ ἐγὼ, ἵνα ΣΟΙ τόπον εὐθὺ πορίζῃ Ἀπόλλων
Μειλιχίων Μουσῶν ἀγλαῷ ἐννὶ χορῷ.

Ung VI 183

VD 18
VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-680741-p0007-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-680741-p0008-8

148
~~153~~

# HELICONEM
## VITEBERGENSEM,
Cum a
Decano maxime spectabili
...IRO
...plissimo, Doctissimoque
...DOFREDO
...ENINGIO,
...n' Adscripto meritissimo,
...IRO
...tque Doctissimo
...MINO
...THILINGIO,
...burgensi,
...Philosophia summi
...xv. Kal. Novembr.
...rentur,
...m dabat,
...octrina & industria
...oribus gratulabatur
...TOPH. WOLFIVS.

...BERGAE,
...SCHVLTZII, ACAD. TYPOGR;

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-680741-p0009-7